# Examples of the future infinitive

καὶ ᾤετο κτήσεσθαι ἐκ τούτων ὄνομα μέγα καὶ δύναμιν μεγάλην καὶ χρήματα πολλά

*And he thought he would gain through these actions a good name, great power and lots of money.*

Xenophon Anabasis 2.6.17

ὃς δ’ ἂν ὑμῶν παραμείνῃ, ὁρῶν ὃν τρόπον ἡμεῖς τάς τε δίκας δικάζομεν καὶ τἆλλα τὴν πόλιν διοικοῦμεν, ἤδη φαμὲν τοῦτον ὡμολογηκέναι ἔργῳ ἡμῖν ἃ ἂν ἡμεῖς κελεύωμεν ποιήσειν ταῦτα, καὶ τὸν μὴ πειθόμενον τριχῇ φαμεν ἀδικεῖν

*But we say that whoever of you stays here, seeing how we administer justice and how we govern the state in other respects, has thereby entered into an agreement with us to do what we command; and we say that he who does not obey does threefold wrong.*

Plato Crito 51e

ταύταις δή φαμεν καὶ σέ, ὦ Σώκρατες, ταῖς αἰτίαις ἐνέξεσθαι, εἴπερ ποιήσεις ἃ ἐπινοεῖς,

*We say that you, Socrates, will be exposed to these reproaches, if you do what you have in mind,*

Plato Crito 52a

ἐὰν λέγῃς παρὰ ταῦτα, μάτην ἐρεῖς. ὅμως μέντοι εἴ τι οἴει πλέον ποιήσειν, λέγε.

*If you argue against these words you will speak in vain. Nevertheless, if you think you can accomplish anything, speak.*

Plato Crito 54d